τὸ διὰ πάντων ἀγαθουργὸν καὶ μεγαλεῖον ἐκθειάζων μᾶλλον ἐπιγίνωσκε· εἴη δὲ τὰ ἡμέτερα πάθη, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν περὶ ἡμᾶς σπλαγχνιζομένου, τῶν προειρημένων τὸ ἕτερον, ἀλλὰ μὴ βαρυτέρας τιμωρίας καὶ ἀπαρακλήτου προοίμιον.

ΡΟΒ'. (Ε. ξς'.)

Περὶ Τριάδος 1).

Ἡ τῆς Τριάδος σύγχυσις ἀναίρεσιν τῶν προσώπων ποιεῖ, ἡ δὲ τῆς οὐσίας διαίρεσις ἀλλοτρίωσιν καὶ κατατομὴν ἐπινοεῖ τῆς θεότητος· φεῦγε τὸν παρ' ἑκάτερα τῆς βασιλικῆς ὁδοῦ κρημνόν, καὶ κατὰ τοὺς ἐκκλησιαστικοὺς ὅρους τε καὶ θεσμούς, μίαν οὐσίαν καὶ θεότητα ἐν ὑποστάσεσι καὶ προσώποις τρισὶ λατρεύων καὶ προσκυνῶν, τὴν τῶν χρ. στιανῶν θεολογίαν, τούτοις συγκεφαλαιούμενος, ἀνακήρυττε.

ΡΟΓ. (ΒΜ. ροδ'.)

Πῶς δεῖ νοεῖν τὸ παρὰ τοῦ Ἰὼβ 2) «καταρασθείη ἡ ἡμέρα ἐν ᾗ ἐγεννήθην»;

§. ά. Καταρᾶται τὴν ἡμέραν αὐτοῦ τῆς γενέσεως ὁ Ἰὼβ τά τε ἄλλα, καὶ οὐ τοσοῦτον ὅτι ταῖς ἀφορήτοις 3) πληγαῖς κατετείνετο, ἀλλ' ὅτι τοῖς λογισμοῖς ἐκυμαίνετο, μήποτε ἄρα εἴη ἐπὶ τοσοῦτον πλημμελείας ἐληλακώς, ὡς τοσαύτην ὀργὴν Θεοῦ κινῆσαι κατ' αὐτοῦ, τουτέστιν, εἰς τοσοῦτον ἐξώκειλα τῶν δεσποτικῶν ἐντολῶν, ὥστε λαθεῖν μὲν ἐμὲ τὸ μέγεθος τοῦ κακοῦ, εἰς τοσοῦτον δὲ παροξῦναι τὸ μακρόθυμον καὶ φιλάνθρωπον τοῦ Θεοῦ, ὥστε καὶ τοσαύτης ὀργῆς ἔνοχον ἐμὲ κριθῆναι, καὶ τηλικαύτας ἀπαιτεῖσθαι δίκας! Ἐπικατάρατος ἡ ἡμέρα ἐκείνη 4). Ὥστε οὐκ ἀγανακτήσεως ἦν ὑπὲρ ὧν ἔπασχεν ἡ ἀρά, ἀλλὰ θρήνων καὶ ἐλεεινολογίας, ὑπὲρ ὧν ἐδόκει λυπῆσαι τὸν Θεόν. Καὶ τοῦτο παρίστησι σαφῶς καὶ ἡ δεσποτικὴ φωνὴ πρὸς αὐτόν, ἐν οἷς φησίν· «Οἴει με ἄλλως σοι κεχρηματικέναι ἢ ἵνα ἀναφανῇς δίκαιος» 5); ἀντὶ τοῦ οὐκ ἔστι σοι τῶν ἡμαρτημένων ἀπαιτήσεις τὰ πάθη, οἷς ἐναθλεῖν παρεχωρήθης, ἀλλὰ γυμνασία μὲν τῆς ἀρετῆς, ἐπάθλων δὲ καὶ μειζόνων στεφάνων, ἢ κατὰ τὰς ὀδύνας καὶ τὰς πληγάς, προξενοῦντα τὴν ἀμοιβήν. Οὐκοῦν οὐκ ὀργὴν ἐκχέων, ὑπαχθῆναί σε συνεχώρησα τοσαύταις ποιναῖς, ἀλλ' ἵνα μᾶλλον ἡ σὴ λαμπρότερον ἀναφανῇ ἀρετή, καὶ κατὰ τοῦ κοινοῦ τῆς φύσεως ὑμῶν ἐχθροῦ ἀριστεύων καὶ τροπαιοφορῶν πᾶσιν ἐπιδειχθῇς.

§. β'. Καταρᾶται δὲ τῆς γενέσεως τὴν ἡμέραν, οὐδὲ τοῦτο ἁπλῶς, ἀλλ' ἐπειδὴ κατὰ ταύτην τὴν ἡμέραν λαμπραῖς ἑστιάσεσιν ἐφιλοφρονεῖτο τοὺς ᾠκειωμένους εἰς φιλίαν αὐτῷ καὶ ἄλλως προσγενεῖς, εἰκὸς δὲ τρυφῶντας καὶ ταῖς διὰ θεαμάτων τινῶν καὶ ἀκουσμάτων τέρψεσι καὶ ἡδοναῖς ψυχαγωγεῖν ἑαυτούς, δι' ὧν τέρπεται μὲν ἀκοή, τέρπεται δὲ ὄψις (βασιλέων γὰρ συνεστιωμένων, εἰκὸς ἦν καὶ τὰ τοιαῦτα συνεισάγεσθαι τῇ πανδαισίᾳ). Διὰ τοῦτο ἄρα λογισμοὶ συνετάραττον αὐτόν, μήποτε ταῦτα μισητὰ γεγονότα τῷ Θεῷ, τὴν ὀργὴν ἐκίνησαν κατ' αὐτοῦ· διὰ τοῦτο τῆς γενέσεως τὴν ἡμέραν ἐπαρᾶται, τουτέστιν ἐν ᾗ τὸν τόνον τῆς ψυχῆς καὶ τὸ συνεστραμμένον καὶ νεῦον πρὸς ἑαυτὸ εἰς τρυφὴν ἐδίδου διαῤῥεῖν, καὶ πρὸς τὰς ἐπιπολαίους ταύτας ὑπομειδιᾶν ἡδονάς. Εἰ δὲ καὶ τὴν ἀρὰν διὰ χειλέων προῆγεν, ἵνα μὴ τοῖς πολλοῖς ἀναισθήτως δόξῃ τὴν φοβερὰν ἐκείνην φέρειν συμφοράν, οὐδέν ἐστιν ἐννοεῖν ἀπεικός· φέρει γὰρ τὴν ἀρὰν οὐ κατά τινος ὑφεστηκότος πράγματος, ἀλλὰ μετὰ τὸ γενέσθαι μηδαμῇ μηδαμῶς ὑφεστῶτος. Καὶ εἴη ἂν ἡ ἀρὰ καὶ τὸ μέγεθος τοῦ πάθους καὶ τὴν συναίσθησιν τῶν ἀλγεινῶν ἐπίδηλον ποιουμένη, καὶ τὸν ἐπαρώμενον μηδεμιᾶς ἔνοχον πλημμελείας ἀποφαίνουσα· κατὰ γὰρ τῶν ἀνυπάρκτων ἦν αὐτῷ ἡ ἀγανάκτησις. Εἰ δέ τις αὐτὸν φήσειε καὶ τῆς δεσποτικῆς ἀποφάσεως ἀναμνησθέντα τοῦτο εἰπεῖν, οὐκ ἂν πόῤῥω θεοφιλοῦς γνώμης ἐνεχθείη· ποίας ἀποφάσεως; ἣν ἀφῆκε κατὰ τῆς Εὔας, ἡνίκα κοινωνὸν ἐκείνη τῆς ἀπάτης ἐποιήσατο τὸν Ἀδάμ· καὶ γὰρ τηνικαῦτά φησιν «Ἐν λύπαις 6) τέξῃ τέκνα» 7), λύπαις καὶ ὀδύναις τὸν ἀνθρώπινον ὑποζευγνύων τόκον, καὶ τὴν ἀράν, ἐξ ὧν προέτρεχον ἐλπίδες χαρᾶς, σκυθρωπότητι κρατύνων λυπηρᾷ· εἰς ταύτην οὖν τὴν δίκην ἀναφέρων τὸν νοῦν ὁ Ἰώβ, μονονουχὶ τὴν ἀπόφασιν ἀποθαυμάζει, καὶ ὑμνεῖ τὸν Δεσπότην, οὕτω 8) λέγων· «ἐπικατάρατος ἡ ἡμέρα, καθ' ἣν τὰς μητρικὰς ὠδῖνας λύων ὁ ἄνθρωπος, πρὸς τὰς τοῦ ἡλίου ἔρχεται αὐγάς».

1) Τὸ αὐτὸ καὶ ἡ λγ. ἐπιστολή· Ἰωάννη τῷ Χρυσοχέρῃ. σελ. 94. Πλείονα περὶ τούτου ὅρα Ζητήμ. ΚΑ. καὶ ΠΖ. — 2) Περὶ τοῦ Ἰὼβ εἰρημένου BM, ἐν δὲ τῷ Τ. (ἀντὶ τοῦ ἐν ᾗ ἐγεννήθην) γέγραπται «καθ' ἣν τὰς μητρικὰς ὠδῖνας λύων ὁ ἄνθρωπος καὶ ἑξῆς» (τοῦτο δ' ἐκ τοῦ τέλους τοῦ Ζητήματος.) — 3) Ἐν BM. λείπουσι τὰ ταῖς ἀφορήτοις. — 4) Ἰὼβ γ, 3. — 5) Ἰὼβ μ, 3. — 6) Ἐν BM. λείπουσι τὰ «λύπαις τέξῃ τέκνα». — 7) Γενέσ. γ, 16. — 8) Οὕτως BM.

ΡΟΔ. (ΒΜ. ροέ.)

Τί ἐστι τὸ «κατ' ἐμαυτοῦ ὤμοσα, λέγει Κύριος» 1);

«Κατ' ἐμαυτοῦ ὤμοσα, λέγει Κύριος», καὶ ποῦ λαβεῖν ἐστιν ὀμωμοκότα τὸν Θεὸν ἢ καθ' ἑαυτοῦ, ἢ καθ' ἑτέρου τινός; πῶς δ' ἂν Θεὸς ὀμωμόκει, πάντας ἀπείργων διὰ τῶν εὐαγγελίων ἀπὸ παντὸς ἑαυτοὺς φυλάττειν ὅρκου, καὶ μὴ τῇ γλώττῃ χρῆσθαι πρὸς ὑπηρεσίαν ἐνόρκου φωνῆς 2); καὶ γὰρ κατὰ πάντα σύμφωνος τῷ Πατρὶ ὁ Υἱός, καὶ ἅπερ λέγει, ἐξ αὐτοῦ λαβὼν λέγει 3). Τί οὖν ἐστι τὸ «κατ' ἐμαυτοῦ ὤμοσα, λέγει Κύριος»; ἀντὶ τοῦ, ὡς ἐστιν ἀνθρώποις ἡ τοῦ ὅρκου δύναμις, βεβαιοῦσα τὸ ὑπισχνούμενον, οὕτως ἐστὶ τῆς ἐμῆς ἐπαγγελίας τὸ ἀπαράβατον 4)· ὅρκου γὰρ πολλάκις προεληλυθότος, ἢ τὸ τῆς γνώμης οὐ πάγιον εἰς ἐπιορκίαν τὸν ὅρκον διέλυσεν, ἢ τὸ ῥέον τῆς ὕλης καὶ τῶν ἐπιγείων πραγμάτων τὸ ἄστατον, καὶ τῆς γνώμης ἐῤῥωμένης, τῶν ὀμωμοσμένων τὸ πέρας διέκοψεν· ... ψιλῆς ὑποσχέσεως τοῦ Θεοῦ, οὐδέν ἐστι τοιοῦτον οὐδὲ ἐννοεῖν, μήτι γε καὶ πίστει λαβεῖν. Διὸ καὶ μη... λαμβάνων ὅρκον ὁ Θεός, ἐπεὶ παντός ἐστιν ὅρκου τὸ θεῖον ἐπάγγελμα δυνατώτερον, ἐπάγειν εἴωθε τὸ «κατ' ἐμαυτοῦ ὤμοσα»· μᾶλλον δὲ καὶ προτάττει τῶν ἰδίων ὑποσχέσεων, εἴτε σκυθρωπότητος καὶ ποινῆς, εἴτε χαρᾶς καὶ θυμηδίας ὑπάρχουσι παρεκτικαί. Μάτην ἄρα οἱ τοῖς ὅρκοις ἐνασελγαίνοντες, ἐπὶ τὸ προκείμενον σχῆμα τοῦ λόγου καταφεύγουσιν· οὐδαμοῦ γὰρ οὔτε τοῖς ὅρκοις, οὔτε τοῖς ὁρκικοῖς ἐπιῤῥήμασι τὸ θεῖον ὤφθη χρησάμενον 5).

ΡΟΕ. (ΒΜ. ρος'.)

Τί ἐστι «καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία» 6);

Τῆς Παναγίας καὶ ἀειπαρθένου Μαρίας τὴν ψυχὴν ῥομφαία διῆλθε κατ' αὐτὸ τὸ σωτήριον τοῦ Χριστοῦ πάθος, οὐκ ἐπιδιστάζουσι λογισμοῖς βαλλομένης, οὐκ ἀπιστίας βέλεσι τιτρωσκομένης, οὐκ ἐφ' οἷς ἔχαιρε τὴν λύπην ἀλλασσομένης, ἀλλὰ τὰ μητρικὰ σπλάγχνα διδούσης πρὸς τὴν ἔμφυτον συμπάθειαν, ἀνασκολοπιζομένου τοῦ υἱοῦ, πράττειν τὰ οἰκεῖα· τί γὰρ μήτηρ οὐκ ἂν πάθοι, βλέπουσα τὸν υἱόν, καὶ μάλιστα τῆς ἀνθρωπίνης φύσεως πολιτευόμενον κρεῖττον, τὰς τῶν κακούργων ὑπέχοντα δίκας; Τοῦτο γέγονε τῇ παναχράντῳ Μητρὶ τοῦ Λόγου πικρότερον καὶ δριμύτερον ῥομφαίας ἀπάσης τὸ πάθος· εἰ γὰρ καὶ Θεὸν πολλὰς ὑποθέσεις εἶχεν εἰδέναι τὸν υἱὸν σεσαρκωμένον, ἀλλ' οὖν οὐκ ἐπὶ πάντων ἔλυε τοὺς τῆς φύσεως νόμους, ἐνεδίδου δὲ καὶ τῇ φύσει τοῖς οἰκείοις ἐνδιαπρέπειν ὅροις· διὸ καὶ 7) πάθος φρικτὸν 8) ὁρῶσα μητρικοῖς ὀφθαλμοῖς προκείμενον θέαμα, κατὰ πληγὴν ῥομφαίας τὴν ψυχὴν ἐτέμνετό τε καὶ κατεμερίζετο 9).

ΡΟϚ. (ΒΜ. ροζ'.)

Τί ἐστι «μὴ στενάζετε κατ' ἀλλήλων, ἵνα μὴ κριθῆτε» 10);

«Μὴ στενάζετε κατ' ἀλλήλων, ἵνα μὴ κριθῆτε» 11)· καὶ πῶς ἔνι προπηλακιζόμενον, ἢ τῶν οἰκείων ἐλαυνόμενον, ἢ τυπτόμενον, μὴ κατὰ τῶν αἰτίων στενάζειν; μὴ ἀμύνεσθαι μὲν γὰρ μηδ' ἀντεπεξιέναι, εἰ καὶ χαλεπόν, ὅμως οὖν τοῖς γε φιλοσοφοῦσι καὶ ταῖς θείαις ἐντολαῖς ἠσφαλισμένοις ἔνεστι, δυνατόν· τὸ δὲ μηδὲ στένειν κατὰ τῶν ἠδικηκότων πῶς ἂν εὑρήσοι χώραν ἐν φύσει ῥεούσῃ καὶ θνητῇ; Ἢ πολλῷ τοῦ προτέρου ῥᾷον· εἰ γὰρ καὶ ἐξὸν θυμὸν ἐμπλῆσαι, καὶ ἀντιλυπῆσαι, καὶ τὴν ζημίαν πᾶσαν ἀνακαλέσασθαι, τούτων δὲ τηλικούτων ὄντων, καὶ σφόδρα γενναίας ψυχῆς δεομένων, ὥστε παριδεῖν, καὶ κρείττω προσπαθείας καὶ ἀντιπαθείας ἀνθρωπίνης γενέσθαι, ἃ δὴ πολλάκις καὶ τοὺς μεγαλοφρονεῖν σπουδὴν ποιουμένους καταπαλαίειν ἴσμεν καὶ περιγίνεσθαι, εἰ καὶ πολλοὺς ὁ τῆς ἀληθοῦς 12) φιλοσοφίας ἔρως καὶ ὁ θεῖος φόβος ἀνωτέρω τῶν εἰρημένων ἐποίησε παθῶν· εἰ οὖν τούτων τῶν ἀσχέ-

1) Γενέσ. κβ. 16. Ἱερεμ. κβ, 5. πρβλ. Ἑβρ. ς, 13. Περὶ τοῦ αὐτοῦ ὅρα καὶ Ζήτημα ΠΑ'. — 2) Ματθ. ε, 34. Ἰακὼβ ε, 12. — 3) Ἰωάν. ιβ, 49. Ἐν δὲ BM. ἔχει. — 4) Ἴδε Οἰκουμέν. καὶ Θεοφύλ. ἐξήγ. εἰς Ἑβρ. ς, 13—17. — 5) Ἴδε καὶ Ζήτημ. ΡΜϚ. §. δ. καὶ Ἐπιστολ. Α. §. οβ. σελ. 34. — 6) Λουκ. β, 35. ὅρα καὶ Ζήτημα ΡΝϚ', ΡΝΖ'. §. δ. — 7) Λείπει ἐν BM. ὁ καί. — 8) Ἐν BM. λείπει τὸ φρικτόν. — 9) Τὰ αὐτὰ τοῦ Φωτίου ἔχει καὶ Νικήτ. Σεῤῥῶν ἐν Συναγ. εἰς Λουκᾶν σελ. 652. — 10) Ἰακὼβ ε, 9. — 11) Λείπουσιν ἐκ τοῦ BM. τὰ ἀπὸ τοῦ «Μὴ στενάζετε — κριθῆτε». — 12) Λείπει ἐκ τοῦ BM. τὸ ἀληθοῦς.